Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

XXI. De Antonio monacho.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

& supra ipsam basin stetit in aere su- A spensa, ita ut nullatenus basin contingeret. Orto mox die, rex utpote architecturæ peritus, ad fabricam venit: atque ibi columnam supra basin in sublimi pendentem conspicatus; tum ipse, tum omnes qui aderant, ingenti admiratione perculsi sunt. Paulo post enim ipsis spectantibus columna descendens, basi suæ innixa stetit. Clamor inde ab omnibus excitatur, cunctis testantibus veram esse Regis fidem, & captivæ mulieris Deum celebrantibus. Jam ergo credentes Christo, alacri animo reliquas columnas erexerunt, totumque opus brevi absolu- B tum est. Post hæc legatio mittitur ad Imperatorem Constantinum: qua & fœdus sibi in posterum esse cum Romanis, & Episcopum cum clericis ad se mitti postulant, affirmantes se ex animo in Christum credere. Hæc Rufinus se à Bacurio didicisse scribit, qui prius quidem Regulus fuerat Iberorum: postea vero ad Romanos transgressus, Dux Palæstini limitis est constitutus: tandem vero Magister militum factus, in bello contra Maximum tyrannum Theodosio Imperatori egregiam operam navavit. In hunc modum Iberi, temporibus Constantini Christianam fidem susceperunt.

A καὶ ὑψηλότερος τῆς βάσεως ἐν τῷ ἀέρι ἑστήκει, μηδαμῶς τῆς κρηπῖδος ἁπτόμενος· ἡμέρα δὲ ἦν, καὶ ὁ βασιλεὺς ἔμφρων τις ὢν, ἐπὶ τὴν οἰκοδομὴν παρῆν· ὁρᾷ τε τὸν στῦλον ἐπὶ τὴν ἰδίαν κρεμάμενον βάσιν. καὶ ἐκπλήττεται μὲν αὐτὸς ἐπὶ τῷ γεγονότι, ἐκπλήττονται δὲ καὶ οἱ παρόντες σὺν αὐτῷ. μετ' οὐ πολὺ γὰρ ἐπ' ὀφθαλμοῖς αὐτῶν, τῇ ἰδίᾳ βάσει ὁ στῦλος κατιὼν, ἱδρύεται· βοή τε ἐντεῦθεν τῶν ἀνθρώπων βοώντων, καὶ ἀληθῆ τὴν πίστιν ἀνακαλούντων τοῦ βασιλέως, καὶ ὑμνούντων τὸν τῆς αἰχμαλώτου θεόν· ἐπί- B στευόν τε λοιπὸν, καὶ σὺν προθυμίᾳ πολλῇ τοὺς ὑπολοίπους στύλους ἀνώρθουν. καὶ οὐκ εἰς μακρὰν τὸ ἔργον τετέλεστο· πρεσβεία ἐντεῦθεν πρὸς τὸν βασιλέα κωνσταντῖνον ἐγένετο. παρεκάλουν τε τοῦ λοιποῦ ὑπόσπονδοι ῥωμαίων γίνεσθαι, λαμβάνειν τε ἐπίσκοπον καὶ ἱερὸν κλῆρον· πιστεύειν γὰρ εἰλικρινῶς ἔλεγον τῷ χριστῷ. ταῦτα φησὶν ὁ ῥουφῖνος παρὰ βακουρίου μεμαθηκέναι, ὃς πρότερος μὲν ἦν βασιλίσκος ἰβήρων· ὕστερον δὲ ῥωμαίοις προσελθὼν, ταξίαρχος τοῦ ἐν παλαιστίνῃ στρατιωτικοῦ κατέστη· καὶ μετὰ ταῦτα στρατηλατῶν, C τὸν κατὰ μαξίμου τοῦ τυράννου πόλεμον τῷ βασιλεῖ θεοδοσίῳ συνηγωνίσατο. τοῦτον μὲν τὸν τρόπον καὶ ἴβηρες ἐχριστιάνισαν ἐπὶ τῶν κωνσταντίνου χρόνον.

## CAPUT XXI.

*De Antonio monacho.*

IAm vero qualis in solitudine Ægypti iisdem temporibus extiterit Antonius monachus, qui cum dæmonibus palam dimicavit, astus eorum atque insidias omnes deprehendens; & quemadmodum multa prodigia ac miracula ediderit, superfluum mihi videtur commemo- D rare. Athanasius enim Alexandrinæ urbis Episcopus, id argumentum nobis præripuit, peculiari libro de illius vita conscripto. Tanta bonorum copia Constantino regnante, uno fere eodemque tempore abundavit.

## Κεφ. κα'.

περὶ ἀντωνίου τοῦ μοναχοῦ.

ΟΠοῖος δὲ ἦν ἐπὶ τῶν αὐτῶν χρόνων καὶ ὁ μοναχὸς ἀντώνιος ἐν τῇ ἐρήμῳ τῆς αἰγύπτου, ὃς φανερῶς τοῖς δαίμοσιν ἀντεπάλαιεν, ἐφευρίσκων τε ἁπλῶς τὰς τέχνας αὐτῶν καὶ τοὺς ἄθλους, καὶ ὅπως πολλὰ ἐποίει τεράστια, περιττὸν λέγειν ἡ- D μᾶς· ἔφθασε γὰρ ἀθανάσιος ὁ ἀλεξανδρείας ἐπίσκοπος, μονόβιβλον εἰς τὸν αὐτοῦ βίον ἐκθέμενος. τοιούτων ἀγαθῶν εὐφορία κατὰ ταυτὸν ὑπὸ τοὺς χρόνους κωνσταντίνου τοῦ βασιλέως ἐγένετο.